ἵνα δύναμίν τινα ἀντιστήσωσι τοῖς κατὰ μέρος τυράννοις καὶ χαλινὸν ἐπιθῶσι τῇ τούτων μανίᾳ. Διαπραξάμενος τοίνυν ἐν τῇ Κωνσταντινουπόλει τὰ δυνατὰ καὶ ὁ μακαριώτατος Ἀντιοχείας κύριος Σίλβεστρος πρότερον, ἐπανῆκεν εἰς τὸν ἴδιον κλῆρον ἐπισκεψόμενος αὐτοπροσώπως ὡς ἀπ' ἀρχῆς τὰ ἴδια· καὶ δὴ ἐπανιὼν συντονωτέρως ἐκαλλιέργει τὴν ἄμπελον τοῦ Χριστοῦ, καὶ πάντα ἐποίει ὑπὲρ τῆς σωτηρίας τοῦ ποιμνίου. Ὁρῶν δὲ ὑλομανοῦσαν ὅλως ἀκάνθας τὴν ποτὲ ἐπ' εὐσεβείᾳ λαμπρὰν Χαλυβῶνα, καὶ τοσούτους λοχῶντας τοὺς μισιοναρίους τῆς δύσεως, καὶ πολλὴν αὐτῶν τὴν ἰοβόλον κακίαν, ἣν ἐπ' αὐτὸν ἕτοιμοι ἦσαν ἐκχέαι, καὶ κατὰ τῶν μητροπολιτῶν τῆς πόλεως πολλάκις ἐξέμεσαν, συμφέρον τοῖς ὑπολοίποις ὀρθοδόξοις λογισάμενος, ταύτην ἀνατίθησιν ὑπὸ τὴν προστασίαν καὶ σκέπην τοῦ οἰκουμενικοῦ θρόνου, ἵνα ἐμφράξῃ κἂν τὰς εἰσόδους τῶν δυτικῶν πρὸς τοὺς ἡγεμόνας, καὶ τὰς ἐξωνημένας διὰ πολλῶν χρημάτων παρ' αὐτῶν κατὰ τῶν ὀρθοδόξων καὶ γνησίων μητροπολιτῶν ἐπηρείας· γράφει οὖν τῷ παναγιωτάτῳ οἰκουμενικῷ πατριάρχῃ κυρίῳ Σαμουὴλ καὶ τῇ ἐνδημούσῃ ἐν Κωνσταντινουπόλει ἁγίᾳ Συνόδῳ, καὶ ταύτην τὴν μητρόπολιν ἀναθεὶς ἐξαιτεῖται τὴν αὐτῆς προστασίαν· ὁ δὲ διαγνώσει συνοδικῇ ἀποδεξάμενος τὴν αἴτησιν τοῦ μακαριωτάτου πατριάρχου Ἀντιοχείας κυρίου Σιλβέστρου, ἐκλέγει διὰ κανονικῶν ψήφων καὶ χειροτονεῖ μητροπολίτην Χαλεπίου τὸν μέγαν πρωτοσύγκελλον κύριον Φιλήμονα· γενόμενος οὖν κανονικῶς ἀρχιερεὺς Χαλεπίου ὁ κύριος Φιλήμων, καὶ διὰ πολλῶν ὀχυρωθείς, καὶ ὁρισμὸν βασιλικὸν παραλαβών, ἵνα ἀποκαταστήσῃ τὸν ἐκεῖ ναὸν τοῖς ὀρθοδόξοις, πάντα ἔχων ἕτοιμον τὸν παναγιώτατον, ἵνα ἀνασώσῃ τὴν οὕτως δεινῶς καταπεπονημένην ταύτην μητρόπολιν, ἀπῆλθεν εἰς Συρίαν.

Οὕτως οὖν τελεσιουργὸς καὶ ἐν τοῖς μάλιστα λυσιτελεστάτη ἐδόκει καὶ τοῖς πόρρω ἡ τοῦ παναγιωτάτου κυρίου Σα-